### 19 (19 B.)

*Αἱ Μοῦσαι τὸν Ἔρωτα*
*δήσασαι στεφάνοισι*
*τῶι Κάλλει παρέδωκαν·*
*καὶ νῦν ἡ Κυθέρεια*
*ζητεῖ λύτρα φέρουσα*
*λύσασθαι τὸν Ἔρωτα.*
*κἂν λύσηι δέ τις αὐτόν,*
*οὐκ ἔξεισι, μενεῖ δέ·*
*δουλεύειν δεδίδακται.*

### 20 (20 B.)

*Ἡδυμελὴς Ἀνακρέων,*
*ἡδυμελὴς δὲ Σαπφώ·*
*Πινδαρικὸν δ' ἔτι μοι μέλος*
*συγκεράσας τις ἐγχέοι.*
*τὰ τρία ταῦτά μοι δοκεῖ*
*καὶ Διόνυσος ἐλθὼν*
*καὶ Παφίη λιπαρόχροος*
*καὐτὸς Ἔρως ἂν ἐκπιεῖν.*

### 21 (21 B.)

*Ἡ γῆ μέλαινα πίνει,*
*πίνει δένδρεα δ' αὖ γῆν·*
*πίνει θάλασσ' ἀναύρους,*
*ὁ δ' ἥλιος θάλασσαν,*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408079479/25 UNIVERSITÄT LEIPZIG